λύψῃ αὐτὸν καὶ μὴ ὁραθῇ ὑπὸ τοῦ Διός. Πλὴν ἔτι ἀπώλετο] ὅτι ἐκ ἀττικὸν τὸ πλὴν ἔτι ἀπώλετο. οὐδὲ ἀρχαϊκόν. οὐδὲ ἀκριβές. ἔστι δὲ ἀντὶ τοῦ πότε δή. A παρέλκει γὰρ τὸ ἔτι νῦν. ἀλόγως γὰρ κεῖται, οὔτε γὰρ τὸ, τινὰ σημαίνει. οὔτε τὸ, ἅ τινα. οὐδὲν γὰρ τούτων ἁρμόζει τῷ πλὴν.

Θεοῖσιν. οὐδὲ κνίσα μηρίων ἄπο
Ανῆλθεν ὡς ἡμᾶς ἀπ' ἐκείνου τοῦ χρόνου.
Ἀλλ' ὥσπερεὶ Θεσμοφορίοις, νηστεύομεν
Ἄνευ θυηλῶν. οἱ δὲ βάρβαροι θεοὶ,
Πεινῶντες ὥσπερ Ιλλυριοὶ, κεκριγότες
Ἐπιστρατεύσειν φάσ' ἄνωθεν τῷ Διῒ, B
Εἰ μὴ παρέξει τἀμπόρι' ἀνεῳγμένα.
Ἵν' εἰσάγοιντο σπλάγχνα κατατετμημένα.
Πι. Εἰσὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες,
Ανωθεν ὑμῶν; Πρ. οὐ γάρ εἰσι βάρβαροι,
Ὅθεν ὁ πατρῷός ἐστιν Ἐξηκεστίδῃ;
Πι. Ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις
Τί ἐστιν; Πρ. ὅ, τι ἐστί; Τριβαλλοί. Πι. μανθάνω. C
Ἐντεῦθεν ἄρα τοὐπιτριβείης ἐγένετο.
Πρ. Μάλιστα πάντων. ἓν δέ σοι λέγω σαφές.
Ἥξουσι πρέσβεις δεῦρο περὶ διαλλαγῶν
Παρὰ τοῦ Διὸς, καὶ τῶν Τριβαλλῶν τῶν ἄνω.
Ὑμεῖς δὲ μὴ σπένδεσθ', ἐὰν μὴ παραδιδῷ
Τὸ σκῆπτρον ὁ Ζεὺς τοῖσιν ὄρνισιν πάλιν,
Καὶ τὴν Βασίλειαν σοι γυναῖκ' ἔχειν διδῷ.
Πι. τίς ἐστιν ἡ Βασίλεια; Πρ. καλλίστη κόρη. D
Ἥπερ ταμιεύει τὸν κεραυνὸν τοῦ Διός.
Καὶ τἄλλα ἁπαξάπαντα, τὴν εὐβουλίαν.
Τὴν εὐνομίαν. τὴν σωφροσύνην. τὰ νεώρια.
Τὴν λοιδορίαν. τὸν κωλακρέτην. τὰ τριώβολα.
Πει. Ἅπαντα γ' ἄρ' αὐτῷ ταμιεύει; Πρ. φήμ' ἐγὼ,
Ἥν γ' ἢν σὺ παρ' ἐκείνου λάβῃς, ἅπαντ' ἔχεις.
Τούτων ἕνεκα δεῦρ' ἦλθον, ἵνα φράσαιμί σοι. E
Αἰεί ποτ' ἀνθρώποις γὰρ εὔνους εἴμ' ἐγώ.
Πι. Μόνον θεῶν γὰρ διὰ σ' ἐπανθρακίζομεν.
Πρ. Μισῶ δ' ἅπαντας τοὺς θεοὺς, ὡς οἶσθα σύ.
Πι. Νὴ τὸν Δί' ἀεὶ δῆτα θεομισὴς ἔφυς.
Πρ. Τίμων καθαρός. ἀλλ' ὡς ἂν ἀποτρέχω πάλιν,
Φέρε μοι σκιάδειον, ἵνα με κἂν ὁ Ζεὺς ἴδῃ
Ανωθεν, ἀκολουθεῖν δοκῶ κανηφόρῳ,
Πι. Καὶ τὸν δίφρον φόρει τονδὶ λαβών. F

*Deis, neque nidor cruribus*
*Ascendit ad nos ab illo tempore.*
*Sed tanquam festis ieiunamus*
*Sine sacrificijs. hi autem barbari dei*
*Esurientes, tanquam Illyrij frementes,*
*Contra militare dicunt superius Ioui,*
*Si non præbebit fora aperta,*
*Vt inducantur viscera incisa.*
PI. *Sunt alteri barbari dei aliqui*
*Supra vos?* PRO. *non enim sunt barbari*
*Vnde patrius est Apollo.*
PI. *Nomen autem deis barbaris*
*Quod est?* PRO. *quod est? Triballi.* PI. *intelligo,*
*Hinc igitur conteraris factum est.*
PRO. *Maximè omnium. vnum autem tibi dico apertè,*
*Venient legati huc de pacibus,*
*A Ioue & triballis superius.*
*Vos autem ne sacrificetis, si non tradiderit*
*Sceptrum Iupiter auibus iterum,*
*Et dominationem tibi fœminam habere dederit.*
PI. *Quæ est dominatio?* PRO. *optima puella,*
*Quæ format fulmen Iouis,*
*Et alia omnia: bonum consilium,*
*Bonam legem, modestiam, naualia,*
*Obiurgationem, gubernatorem ciuilem triobola.*
PI. *Omnia igitur ipse gubernat?* PRO. *dico ego,*
*Quam si tu ab illo ceperis, omnia habes.*
*Horum gratia huc veni, vt dicerem tibi*
*Semper quondam, hominibus enim beneuolus sum ego.*
PI. *Solum deorũ enim propter te sacrificamus.*
PRO. *Odi autem omnes Deos, vt scis tu.*
PI. *Per Iouem semper certè deorum odiosus natus es.*
PRO. *Timon purus, sed valde reuertar retrò.*
*Fer mihi pileolum, vt me si Iupiter viderit,*
*Desuper sequi videar, canistra portantes.*
PI. *Et sedem fer hanc capiens.*

BISETVS. Κνίσα μηρίων ἄπο] τοῦτο κατὰ τὸ Ὁμηρικὸν τοῦ Α. τῆς Ἰλιάδος,

Ἔρδον δ' Ἀπόλλωνι τεληέσσας ἑκατόμβας
Ταύρων, ἠδ' αἰγῶν παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Κνίση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.

Σχόλια. Πεινῶντες ὥσπερ Ιλλυριοί.] Δίδυμος ὥσπερ βάρβαροι. ἀνέπλασε δέ τι γένος θεῶν βαρβάρων Τριβαλλῶν ἀνώτατον. οἱ δὲ ὥσπερ ἐπὶ τῶν ἀνθρώπων βάρβαρα ἔθνη πορρωτάτω καθεστήκασι. περὶ δὲ Θρᾴκην εἰσὶν οἱ Ιλλυριοί. τινὲς δὲ Περσίδος φασὶν αὐτούς. οἱ γεωργεῖν μὲν οὐκ ἔχουσι γῆν. λῃστεύοντες δὲ τρέφονται. τὸ δὲ κεκριγότες, μίμησίς ἐστιν οὐκ εἰς τὸν ἦχον, ἀλλ' εἰς τὴν ἀσάφειαν τῶν βαρβαρικῶν διαλέκτων. Κεκριγότες.] οἱ ποιὰν φωνὴν ἀποτελοῦντες ἀπὸ λιμοῦ, οἱ Τριβαλλοὶ θεοί. ἢ τὸ G κεκριγότες, εἰς τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν. κρίγη γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος. ἀνωτέρω δέ φησιν αὐτοὺς οἰκεῖν, ὡς τῶν Ἑλλήνων ἀνωτέρω οἰκοῦσι καὶ πορρωτέρω οἱ βάρβαροι. Επιστρατεύσειν φασίν.] ἔφασάν φησιν οἱ Τριβαλλοὶ, πολεμεῖν πρὸς τὸν Δία, ἵνα παρέξῃ αὐτοῖς τὴν εἴσοδον τῶν ἐμπορείων. παίζει δὲ εἰς τὸν νομιζόμενον τετειχίσθαι ἀέρα μεταξὺ, ὡς ἐκείνων ἀποκεκλεισμένων. Ὅθεν ὁ πατρῷος.] ὅτι κατ' ἔλλειψίν ἐστι τοῦ Ἀπόλλωνος. δέον γὰρ εἰπεῖν ὁ πατρῷος Ἀπόλλων ἢ ἄλλος τις τῶν θεῶν. πατρῷον δὲ τιμῶσιν Ἀπόλλωνα Ἀθηναῖοι, ἐπεὶ Ἴων ὁ πολέμαρχος Ἀθηναίων, ἐξ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ξούθου ἐγένετο.

BISETVS. Τριβαλλοί] Ἡσύχιος. Τριβαλλοὶ, συκοφάνται. οἱ δὲ τοὺς θεραπευτικοὺς ἐν τοῖς βαλανείοις